**Κυριακὴ 4 Νοεμβρίου. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωαννικίου τοῦ Μεγάλου· καὶ τῶν ἁγίων ἱερομαρτύρων Νικάνδρου, Ἐπισκόπου Μύρων, καὶ Ἑρμαίου, Πρεσβυτέρου. Ἦχος πλ.α'. Ἑωθινὸν ια'.**

## Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ μικρῷ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, εἰς τό· *Κύριε ἐκέκραξα*...ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ γ' ἀναστάσιμα στιχηρά· *Διὰ τοῦ τιμίου σου Σταυροῦ Χριστέ*...*Ὁ τὴν Ἀνάστασιν διδοὺς τῷ γένει τῶν ἀνθρώπων*...*Μέγα Θαῦμα! ὁ τῶν ἀοράτων Κτίστης*...δευτεροῦντες τὸ α'. Δόξα...Καὶ νῦν... τὸ δογματικὸν θεοτοκίον· *Τὴν θεοπρεπῆ καὶ σεβάσμιον Κόρην τιμήσωμεν*...Τό· *Φῶς ἱλαρόν*...τὸ Προκείμενον τῆς ἡμέρας μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὸν στίχον ψάλλομεν τὸ ἀναστάσιμον στιχηρόν· *Σὲ τὸν σαρκωθέντα Σωτῆρα Χριστὸν*...εἶτα τὰ γ' προσόμοια τῆς Θεοτόκου· *Χεῖρας ἐπανατείνω πρὸς σέ*...*Χαίροις ἡ τὸν Υἱὸν τοῦ Θεοῦ*...*Χαίροις ἡ καλλονὴ Ἰακὼβ*...Δόξα...Καὶ νῦν...τὸ ἐγκωμιαστικὸν θεοτοκίον· *Αἱ περὶ σοῦ προφητεῖαι ἐπληρώθησαν*...Τό· *Νῦν Ἀπολύεις*...Τὸ τρισάγιον καὶ τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Τὸν συνάναρχον λόγον*...Δόξα...Καὶ νῦν...τὸ ὁμόηχον θεοτοκίον· *Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος*...Ἀπόλυσις.

### Ἐν τῷ ἀποδείπνῳ

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, ψάλλομεν τὸν κανόνα τῆς Θεοτόκου κατ' ἦχον καὶ ἡμέραν· *Πνεύματος τοῦ ἁγίου ἑλκύσαι*...(ἐκ τοῦ Θεοτοκαρίου τοῦ ἁγίου Νικοδήμου τοῦ ἁγιορείτου). Εἰς δὲ τὸ τρισάγιον, ἡ ὑπακοὴ τοῦ ἤχου· *Ἀγγελικὴ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι*...Ἐν τέλει, μετὰ τό· *Τῇ Ὑπερμάχῳ*...οἱ κδ' οἶκοι τῆς Θεοτόκου.

### Ἐν τῷ μεγάλῳ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, στιχολογοῦμεν τὸ α' κάθισμα τοῦ Ψαλτηρίου, ἤτοι τό· *Μακάριος ἀνήρ*...ὅλον. Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*... ισ-

τῶμεν στίχους ι' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'· *Διὰ τοῦ τιμίου σου Σταυροῦ Χριστέ…Ὁ τὴν Ἀνάστασιν διδοὺς τῷ γένει τῶν ἀνθρώπων… Μεγα Θαῦμα! ὁ τῶν ἀοράτων Κτίστης…*ἀνατολικὸν στιχηρὸν ἐν· *Ἑσπερινὴν προσκύνησιν…*τοῦ ὁσίου προσόμοια γ'· *Ἐγκρατείας τοῖς βέλεσι… Θεωρίας τῆς κρείττονος…Τῶν χαρίτων τοῦ Πνεύματος…*τῶν ἱερομαρτύρων προσόμοια γ'· *Κλῆσιν, τὴν φερώνυμον…Μύρα, εὐωδέστατα ἡμῖν… Ἔχων, παῤῥησίαν πρὸς Χριστὸν…*Δόξα…τὸ ἰδιόμελον τοῦ ὁσίου· *Ἀνδρειοφρόνως τελέσας τὸ ἀσκητικὸν στάδιον…*Καὶ νῦν…τὸ α' θεοτοκίον τοῦ ἤχου· *Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ…*Εἴσοδος. Τὸ· *Φῶς ἱλαρόν…*τὸ προκείμενον τῆς ἡμέρας· *Ὁ Κύριος ἐβασίλευσεν…*μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὴν λιτήν, τὸ στιχηρὸν τοῦ ἁγίου τοῦ ναοῦ ἢ τοῦ ἁγίου τῆς μονῆς. Δόξα…Καὶ νῦν…τὸ θεοτοκίον, εἰς τὸν αὐτὸν ἦχον τοῦ ἰδιομέλου, ἐκ τῶν κειμένων μετὰ τὰ κατ' ἀλφάβητον…Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρὸν· *Σὲ τὸν σαρκωθέντα Σωτῆρα Χριστὸν…*εἶτα τὰ γ' στιχηρὰ, τὰ κατ' ἀλφάβητον· *Νυγείσης σου τῆς πλευρᾶς Ζωοδότα…Ξένη σοῦ ἡ σταύρωσις…Ὁ δι' ἡμᾶς σαρκὶ πάθος δεξάμενος…*Δόξα…,τὸ ἰδιόμελον τοῦ ὁσίου· *Τῷ τοῦ Χριστοῦ ἔρωτι τρωθεὶς τὴν διάνοιαν…*Καὶ νῦν…τὸ θεοτοκίον· *Ὁ ποιητὴς καὶ Λυτρωτής μου Παναγνὲ…*Τό· *Νῦν ἀπολύεις…*καὶ τὸ τρισάγιον. Ἀπολυτίκιον, τὸ ἀναστάσιμον· *Τὸν συνάναρχον λόγον…ἅπαξ*. Εὐθὺς τὸ· *Θεοτόκε Παρθένε…ἅπαξ*. Ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἡ ἀνάγνωσις εἰς τὰς ἐπιστολάς.

**Μὴ τελουμένης ἀγρυπνίας,** ἀπολυτίκια εἰς τὸν μέγαν ἑσπερινὸν (καταλιμπανομένου τοῦ μικροῦ) λέγομεν, ὡς ἐσημειώθησαν ἐν τῷ μικρῷ. Τῇ δὲ Κυριακῇ πρωῒ, **ἐν τῷ μεσονυκτικῷ,** ὁ τριαδικὸς κανὼν τοῦ ἤχου· *Κράτος τῆς ἑνιαίας…*Τὰ *Ἄξιόν ἐστιν…Τρισάγιον,* καὶ ἡ ὑπακοὴ τοῦ ἤχου· *Ἀγγελικὴ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι…*καὶ τὰ λοιπὰ τοῦ μεσονυκτικοῦ.

## Ἐν τῷ ὄρθρῳ

Εἰς τὸ· *Θεὸς Κύριος…*τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Τὸν συνάναρχον λόγον Πατρὶ καὶ Πνεύματι…*Δόξα· *τὸ αὐτὸ…*Καὶ νῦν…τὸ ὁμόηχον θεο-

τοκίον· *Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος*…Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ'*, Δόξα, καὶ νῦν…Καὶ ἀναγινώσκει τὸ Β' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος*…Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Τὸν Σταυρὸν τοῦ Κυρίου ἐγκωμιάσωμεν*…Δόξα· *Κύριε νεκρὸς προσηγορεύθης*…Καὶ νῦν, τὸ θεοτοκίον· *Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον*…Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ Γ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος*…Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Κύριε, μετὰ τὴν τριήμερόν σου Ἀνάστασιν*…Δόξα· *Κύριε, ἐν μέσῳ σὲ προσήλωσας*…Καὶ νῦν, τὸ θεοτοκίον· *Ἀπειρόγαμε νύμφη Θεογεννήτρια*… Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ ΙΖ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ ψάλλονται τὰ *Εὐλογητάρια*. Αἴτησις καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου· *Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι*…Εὐθὺς οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ προκείμενον αὐτοῦ καὶ ἅπασα ἡ τάξις τοῦ ἑωθινοῦ ια' Εὐαγγελίου. Εἶτα τὸ· *Ἀνάστασιν Χριστοῦ*…Ὁ ν' ψαλμός. Δόξα· *Ταῖς τῶν Ἀποστόλων*…Καὶ νῦν· *Ταῖς τῆς Θεοτόκου*…Εἰς τὸν στίχον τὸ· *Ἀναστὰς ὁ Ἰησοῦς*…

**Εἶτα οἱ κανόνες·** ὁ ἀναστάσιμος, μετὰ τῶν εἱρμῶν, εἰς δ' τροπάρια, ὁ ὁ τῆς θεοτόκου, ἄνευ εἱρμῶν, εἰς β' τροπάρια, τοῦ ὁσίου, ἄνευ εἱρμῶν, εἰς δ' τροπάρια καὶ τῶν ἱερομαρτύρων, ἄνευ εἱρμῶν, εἰς δ' τροπάρια. Λέγομεν δὲ καὶ τοὺς ιβ' στίχους τῆς στιχολογίας ἐν ἑκάστῃ ᾠδῇ, εἰς δὲ τὰ δύο τελευταῖα τὸ· *Δόξα*…καὶ τὸ· *Καὶ νῦν*…Καταβασίαι· *Ἀνοίξω τὸ στόμα μου*…Ἀπὸ γ' ᾠδῆς, τὸ κάθισμα τοῦ ὁσίου· *Κόσμου τερπνότητα*… Δόξα, τῶν ἱερομαρτύρων· *Νίκης ἐπώνυμος*…Καὶ νῦν, τὸ θεοτοκίον· *Ἅπας ὁ βίος μου*…Ἀφ' ἕκτης τὸ ἀναστάσιμον κοντάκιον· *Πρὸς τὸν Ἅδην*

*Σωτήρ μου συγκαταβέβηκας*...καὶ ὁ οἶκος· *Ἀκούσασαι αἱ γυναῖκες τοῦ Ἀγγέλου τὰ ῥήματα*...Συναξάριον. **Ἡ τιμιωτέρα στιχολογεῖται.**

**Τό· *Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν***...ἐκ γ' καὶ τό· *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν*...εἶτα τὸ ἐξαποστειλάριον, τὸ ια' ἀναστάσιμον· *Μετὰ τὴν θείαν ἔγερσιν*...καὶ τὸ θεοτοκίον αὐτοῦ· *Ὢ φοβερὸν μυστήριον!*...Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν ἀναστάσιμα στιχηρὰ δ'· *Κύριε, ἐσφραγισμένου τοῦ τάφου*...*Κύριε, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας*...*Κύριε, αἱ γυναῖκες ἔδραμον ἐπὶ τὸ μνῆμα*...*Κύριε, ὥσπερ ἐξῆλθες ἐσφραγισμένου*...ἀνατολικὰ στιχηρὰ δ'· *Κύριε, ὁ Βασιλεὺς τῶν αἰώνων*...*Κύριε, τὰ ὑπερλάμποντά σου θαύματα*...*Μυροφόροι γυναῖκες*... *Τοῦ θεοδέγμονος τάφου*...Δόξα...τὸ ια' Ἑωθινὸν ἰδιόμελον· *Φανερῶν σεαυτὸν*...Καὶ νῦν· *Ὑπερευλογημένη*...Δοξολογία μεγάλη...καὶ τὸ ἀναστάσιμον τροπάριον μόνον· *Ἀναστὰς ἐκ τοῦ μνήματος*...Ἐκτενής, ἀπόλυσις. Ἡ α' ὥρα ἐν τῷ νάρθηκι.

## Ἐν ταῖς ὥραις

Λέγομεν δὲ ἐν ταῖς ὥραις Δόξα...τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Τὸν συνάναρχον λόγον Πατρὶ καὶ Πνεύματι*...Καὶ νῦν· τὸ θεοτοκίον τῶν ὡρῶν. Εἰς τὸ τρισάγιον, ἡ ὑπακοὴ τοῦ ἤχου· *Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι*...

## Εἰς τὴν Λειτουργίαν

Τὰ τυπικά. Οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς η' τροπάρια. Εἰσοδικὸν τό· *Δεῦτε προσκυνήσωμεν*...*ὁ ἀναστὰς ἐκ νεκρῶν*...Ἀπολυτίκια μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον· *Τὸν συνάναρχον λόγον Πατρὶ καὶ Πνεύματι*... τοῦ ἁγίου τοῦ ναοῦ ἢ τοῦ ἁγίου τῆς μονῆς... Δόξα, ἡ ὑπακοὴ τοῦ ἤχου· *Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμενα*...Καὶ νῦν· *Προστασία τῶν χριστιανῶν*...Τρισάγιον. Προκείμενον καὶ ἀλληλουϊάριον τοῦ ἤχου. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Ἀπόστολος· τῆς Κυριακῆς· *Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρὶ*...(Γαλ. ιϛ' 11-18), ὁ ζήτει

τῇ εἰκοστῇ δευτέρᾳ Κυριακῇ τῶν Ἐπιστολῶν τοῦ Ἀποστόλου. Εὐαγγέλιον· τῆς Κυριακῆς· *Νομικός τις προσῆλθε τῷ Ἰησοῦ, πειράζων αὐτὸν…* (Λουκ. ι' 25-27), ὁ ζήτει τῇ ὀγδόῃ Κυριακῇ τῶν κατὰ Λουκᾶν Εὐαγγελίων. Εἰς τὸ· *Ἐξαιρέτως…*τὸ· *Ἄξιόν ἐστιν…*Κοινωνικὸν· *Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα…Εἴδομεν τὸ φῶς…Πληρωθήτω…Εἴη τὸ ὄνομα Κυρίου…*ἐκ *γ'*, Δόξα…Καὶ νῦν…οἱ δύο ψαλμοὶ· *Εὐλογήσω τὸν Κύριον…Ὑψώσω σὲ ὁ Θεός μου…*καὶ ἡ ἀπόλυσις.